ἐν οἷς τῷ τοῦ παρόντος βιβλίου προσχρώμενος λόγῳ, 'ἐμίσησάν με, φάσκων που, δωρεάν' ἐπὶ τὸν νόμον τοῦτο γεγράφθαι παρέπεμπεν. [16] 'μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με. ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι'. μετακεκίνηται γὰρ τὰ τῆς τάξεως τῶν προκειμένων ὥσπερ τῇ λέξει, οὕτω γε δὴ καὶ κατὰ τὴν ἔννοιαν. οὐ γὰρ ὁ ποὺς τῆς ὑπερηφανίας παραίτιος τοῦ τῇ χειρὶ τῶν ἁμαρτωλῶν σαλεύεσθαι τὸν φιλόθεον, ἀλλ' ἡ χεὶρ ἔμπαλιν εἴτουν ἡ ἀσωφρόνιστος τῶν ἐπὶ τοῖς ἀδεῶς βιοῦσιν ἀπὸ τοῦ κρείττονος πρᾶξις τὸν σάλον ἐπάγουσα πρὸς ὕβριν ἔσθ' ὅτε τοὺς δικαίους ἠρέθισεν. ἀσφαλὴς τῷ λόγῳ τὸ βέβαιον ὁ μακάριος οὗτος ἀνὴρ ἐπιδαψιλεύσασθαι, ὅς τά τ' ἄλλα καὶ ὅτι τὴν τῶν ἁμαρτωλῶν εὐθηνίαν σκοπεῖν ἐπανείλετο, 'παρὰ μικρὸν' ὁμολογῶν 'σεσαλεῦσθαι τοὺς πόδας καὶ ἐκκεχύσθαι τὰ διαβήματα' ὡς ἐπὶ ζῆλον ἀπροφασίστως παρακαλούντων, ὧν οὗτοι κατὰ τὸν ἐνεστῶτα τρυφῶντες ἀδεῶς ἀπολαύουσιν. οὐχ ἧττον δὲ τούτων κἀκεῖνο πρὸς ἐξαπάτην πάλιν φησὶ καὶ τὸ μηδεμίαν ὁρᾶσθαι τῶν παιδαγωγεῖν εἰωθυιῶν ἐπαγομένην αὐτοῖς στερεὰν μάστιγα. 'οὐκ ἔστι' γάρ φησιν 'ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν (ἤτοι 'δυσπάθεια' κατὰ τὸν Σύμμαχον) καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν', ὅπερ οὐκ ἔστι κατ' ὀλίγον καὶ ἀμφιβαλλομένην καὶ σκάζουσαν, ἀλλ' εἰς τελείαν ὑπερηφανίαν ἐξέμηνεν, [fol. 41 v.] πόδας καὶ διαβήματα τὰς ἐπὶ τὸ δρᾶν ἡμῶν κινήσεις τροπικῶς ὀνομάζων. ὡς γὰρ ποδῶν ἔργον τὰ διαβήματα, οὕτω καὶ ψυχῆς ἐπιτηδευμάτων αἱ πράξεις γνωρίζονται. [17] ἀλλ' ἐπειδὴ ταῦτα, καὶ χεῖρα τῶν ἁμαρτανόντων ἐπὶ τὸ πρακτικὸν ἔγνωμεν ἀναφέρεσθαι, καθὸ καὶ λύθρῳ τοῦ τῶν τοιούτων φόνου τὸν δίκαιον τὰς ἑαυτοῦ χεῖρας, εἴτουν πράξεις, φαμὲν ἀπονιπτόμενον ἐκκαθαίρεσθαι, ταῦτα διατρανοῦμεν ἐπὶ τῶν προκειμένων, ὡς εὐχῇ τὸ ἀπὸ τοῦδε συγκαταλύει τὸν λόγον μηδὲν αὐτῷ δεόμενος κατὰ διάνοιαν ἐντακῆναι, ὃ πρὸς τὴν μίμησιν τῶν ἁμαρτωλῶν ἐκκαλούμενον, εἶτα πρὸς ὑπερηφανίαν ἐπᾶραν μετάρσιον μεγίστῳ κακῷ περιβάλοι ἐξ ὑπερδεξίου τοῦ πτώματος· εἰς ὃ πάντας (οὕτω γὰρ Σύμμαχος ἐκδέδωκε, τὸ ἐκεῖ ὅπου εἰπών) καταβεβλῆσθαι τοὺς ἐργάτας τῆς ἀνομίας διατεινόμενος ἐξῶσθαί τε τούτους τῆς τῶν κρειττόνων ἐλπίδος, ὧν τὰ προκείμενα ἡμῖν κατηγγύησεν, ἐμπεδοῖ καὶ μὴ ἄν ποτε στῆναι πρὸς τὸ προσῆκον ἐπαναγομένου τῆς στάσεως. τοιοῦτο γὰρ τὸ τῆς ὑπερηφανίας κακὸν καὶ ὅσον εἰς βλάβην ψυχῆς Παῦλος ὁ θεῖος ὑπέφηνεν, κρίμα τοῦτο τοῦ διαβόλου εἰπὼν ὡς δυσανάκλητον πρὸς διόρθωσιν. διὸ καὶ ἕτερος τῶν θεοφορουμένων, ἵνα τὸ ἀκαμπὲς αὐτοῦ καὶ ἀμείλικτον πρὸς μετάνοιαν ὑπογράψῃ, ἄκμονι αὐτὸν ἀνηλάτῳ κατὰ τὴν ὑποικουροῦσαν καὶ ἀναπόβλητον ἕξιν διὰ τοῦ τῆς καρδίας αἰνίγματος ἀφωμοίωσεν. [18] ἀλλὰ τί ταῦτα, φαίη τις ἄν, τοῖς ἄνω λυμαίνεται; ἐμοὶ δὲ οὐκ ἔστιν ὅσον εἰπεῖν. ὃς γὰρ τῷ ἀκολάστῳ τοῦ βίου ἐπὶ τὸ πλημμελὲς τῶν διανοημάτων ἀπεῖδεν, ἀρχὴν μὲν πρόνοιαν ἀπωθήσατο τοῦ παντὸς

1 f. Ioh. 15,25 (Ps. 34,19; 68,5). 3. ἁμαρτωλοῦ mit S c. a A. 5. τάξεως aus στάσεως korr. 11. Ps. 72,2.3 ‖ παραμικρ". 16 f. Ps. 72,4. 37. τοαποτοῦδε. 27. περιβάλοι: unsicher. 33. I Tim. 3,6. 34. Iob 41,16 (15).